## LXXXIX

εἰ μὴ τόξον Ἔρως μηδὲ πτερὰ μηδὲ φαρέτραν
  μηδὲ πυριβλήτους εἶχε Πόθων ἀκίδας,
οὔκ, αὐτὸν τὸν πτανὸν ἐπόμνυμαι, οὔποτ᾽ ἂν ἔγνως
  ἐκ μορφᾶς τίς ἔφυ Ζωίλος ἢ τίς Ἔρως.

## XC

ἦν καλὸς Ἡράκλειτος ὅτ᾽ ἦν ποτε· νῦν δὲ παρ᾽ ἥβην
  κηρύσσει πόλεμον δέρρις ὀπισθοβάταις.
ἀλλά, Πολυξενίδη, τάδ᾽ ὁρῶν μὴ γαῦρα φρυάσσου·
  ἔστι καὶ ἐν γλουτοῖς φυομένη Νέμεσις.

## XCI

σιγῶν Ἡράκλειτος ἐν ὄμμασι τοῦτ᾽ ἔπος αὐδᾷ·
  "καὶ Ζηνὸς φλέξω πῦρ τὸ κεραυνοβόλον."
ναὶ μὴν καὶ Διόδωρος ἐνὶ στέρνοις τόδε φωνεῖ·
  "καὶ πέτρον τήκω χρωτὶ χλιαινόμενον."
δύστανος παίδων ὃς ἐδέξατο τοῦ μὲν ἀπ᾽ ὄσσων
  λαμπάδα, τοῦ δὲ Πόθοις τυφόμενον γλυκὺ πῦρ.

## XCII

ἤδη μὲν γλυκὺς ὄρθρος· ὁ δ᾽ ἐν προθύροισιν ἄυπνος
  Δᾶμις ἀποψύχει πνεῦμα τὸ λειφθὲν ἔτι
σχέτλιος Ἡράκλειτον ἰδών· ἔστη γὰρ ὑπ᾽ αὐγάς
  ὀφθαλμῶν, βληθεὶς κηρὸς ἐς ἀνθρακιήν.
ἀλλά μοι ἔγρεο, Δᾶμι δυσάμμορε· καὐτὸς Ἔρωτος
  ἕλκος ἔχων ἐπὶ σοῖς δάκρυσι δακρυχέω.